# LOS TRABAJOS DE HERACLES:
## 2º LA HIDRA DE LERNA. DESCRIPCIÓN DE LA HIDRA.

### NOTAS

Λερναῖος, -α, -ον *de Lerna*

Λέρνη, -ης ἡ *Lerna*

ἕλος, -έος τό *pantano*

Ἰολάος, -ου ὁ *Yolao*

Ἀμυμώνη, -ης ἡ *Amimone*

περιπλέκω *abrazar, enlazarse*

Δεύτερον δὲ ἆθλον ἐπέταξεν αὐτῷ τὴν **Λερναίαν** ὕδραν κτεῖναι· αὕτη δὲ ἐν τῷ τῆς **Λέρνης** **ἕλει** ἐκτραφεῖσα ἐξέβαινεν εἰς τὸ πεδίον καὶ τά τε βοσκήματα καὶ τὴν χώραν διέφθειρεν. εἶχε δὲ ἡ ὕδρα ὑπερμέγεθες σῶμα, κεφαλὰς ἔχον ἐννέα, τὰς μὲν ὀκτὼ θνητάς, τὴν δὲ μέσην ἀθάνατον. ἐπιβὰς οὖν ἅρματος, ἡνιοχοῦντος **Ἰολάου**, παρεγένετο εἰς τὴν Λέρνην, καὶ τοὺς μὲν ἵππους ἔστησε, τὴν δὲ ὕδραν εὑρὼν ἔν τινι λόφῳ παρὰ τὰς πηγὰς τῆς **Ἀμυμώνης**, ὅπου ὁ φωλεὸς αὐτῆς ὑπῆρχε, βάλλων βέλεσι πεπυρωμένοις ἠνάγκασεν ἐξελθεῖν, ἐκβαίνουσαν δὲ αὐτὴν κρατήσας κατεῖχεν. ἡ δὲ θατέρῳ τῶν ποδῶν ἐνείχετο **περιπλακεῖσα**.